Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: klo-ah

*Ἀριστοφάνης ὁ Βυζάντιος* · Aristophanes of Byzantium

# Proverbs, Fragments

*Παροιμίαι*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πραγματεία* Treatise

1-5t Μετρικαὶ παροιμίαι. Sui d.

1 : Δεξιὸν εἰς ὑπόδημ α , ἀριστερὸν εἰς ποδονίπτρα ν . Ἀριστοφάνης. ἐπὶ τῶν ἁρμοδίως τοῖς πράγμασι κεχρημένων. Scho l .

2 Sop h . Ai. 745: Εἴπερ τι Κάλχας εὖ φρονῶν μαντεύετα ι. Εἰς παροιμίαν ὁ στίχος παρῆκται, ἣν καὶ Ἀριστοφάνης ἀναγράφει. Zeno b .

3 VI, 40: Χάραξ τὴν ἄμπελον. παροιμία, ὅταν ὑπὸ τοῦ σώζοντος τὸ σωζόμενον ἀπατηθῇ. ἀναγράφει δὲ αὐτὴν κακῶς Ἀριστοφάνης· Ἐξηπάτησεν ἡ χάραξ τὴν ἄμπελο ν. Harpoc r .

4 p. 85, 14: Ἔργα νέων. τοῦτο καὶ Ὑπερίδης ἐν τῷ κατ' Αὐτοκλέους Ἡσιόδου φησὶν εἶναι. παροιμία τίς ἐστιν, ἣν ἀνέγραψε καὶ Ἀριστοφάνης ὁ γραμματικὸς οὕτως ἔχουσαν· Ἔργα νέω ν , βουλαὶ δὲ μέσω ν , εὐχαὶ δὲ γερόντω ν. Hesyc h .

5 T. II. p. 816: Οὐ παντὸς ἀνδρὸς εἰς Κόρινθον ἔσ θ ' ὁ πλοῦ ς. Ἀριστοφάνης. ἐπεὶ δοκεῖ τοῖς ἐς Κόρινθον εἰςπλέουσι ξένοις χαλεπή τις ἡ πόλις εἶναι διὰ τὴν τῶν ἑταιρῶν γοητείαν. [ἐσπούδαζον γὰρ περὶ τοῦτο οἱ Κορίνθιοι καὶ ῥαθύμως διὰ τοῦτο διῆγον.] Ἄμετροι παροιμίαι.

6 Zeno b . I, 52: Ἀκεσίας ἰάσατο· ἐπὶ τῶν ἐπὶ τὸ χεῖρον ἰωμένων. ὅλην δὲ Ἀριστοφάνης ἐν τετάρτῳ ἀμέτρων ἐκφέρει, λέγων· Ἀκεσίας τὸν πρωκτὸν ἰάσατ ο. Ἀκεσίας γάρ τις ἐγένετο ἰατρὸς ἀφυὴς ὃς τὸν πόδα τινὸς ἀλγοῦντος κακῶς ἐθεράπευσεν. Cf. Diogenian. II, 3. Apostol. II, 23. Arsen. p. 35: Ἀκεσίας ἰάσατο. ἐπὶ τῶν ἐπὶ τὸ χεῖρον ἰωμένων. καὶ Ἀριστοφάνης· Ἀκεσίας τὸν πρωκτὸν ἰάσατο. Zeno b .

7 I, 54: Ἄκουε τοῦ τὰ τέσσαρα ὦτα ἔχοντος · ἐπὶ τῶν ἀπειθούντων—ἢ ἐπὶ τοῦ πολλὰ ἰδόντος καὶ πολλὰ ἀκούσαντος, ὡς Ἀριστοφάνης φησίν. Zeno b .

8 III, 63: Ἐν ὅλμῳ εὐνάσ ω. οἱ μὲν Ὅλμον μάντιν φασίν· οἱ δὲ τοὺς ἐν ὅλμῳ κοιμηθέντας μαντικοὺς γίνεσθαι, ὅθεν καὶ παροιμίαν γενέσθαι. καὶ Ἀριστοφάνης ὁ γραμματικός φησιν, ὡς οἱ ἐν ὅλμῳ κοιμηθέντες μαντικοί, καὶ τοὺς τρίποδας τοῦ Ἀπόλλωνος ὅλμους καλεῖσθαι, καὶ Ἀπόλλων ὑπὸ Σοφοκλέους ἔνολμος. Scho l .

9 Ar. Av. 1463: λέγεταί τις Κερκυραία μάστιξ. Φρύνιχος Σατύροις· „Κερκυραῖαι δ' οὐδὲν ἐπιβάλλουσι μάστιγες.“ ὥστε καὶ εἰς παροιμίαν ἤδη ἐλθεῖν. Ἀριστοφάνης δὲ τὸ Κερκυραία

μάστιξ λέγων φησὶν οὕτως· „διὸ καὶ τὰς κώπας αὐτῶν ἐλεφαντίνας ἐποιήσαντο καὶ τῷ μεγέθει περιττάς. ὅθεν καὶ ἡ Κερκυραία ἐπεπόλασε μάστιξ καὶ εἰς παροιμίαν ἦλθε.“ Photius p. [5]

10 237, 12. et Sui d.: Λύσιοι τελετα ί, αἱ Διονύσου. Βοιωτοὶ γὰρ ἁλόντες ὑπὸ Θρᾳκῶν καὶ φυγόντες ἐς Τροφωνίου, κατ’ ὄναρ ἐκείνου Διόνυσον ἔσεσθαι βοηθὸν φήσαντος, μεθύουσιν ἐπιθέμενοι τοῖς Θρᾳξὶν ἔλυσαν ἀλλήλους, καὶ Διονύσου ἱερὸν ἱδρύσαντο, ὡς Ἡρακλείδης ὁ Ποντικός. ὡς Ἀριστοφάνης δὲ διὰ τὸ λυτρώσασθαι Θηβαίους παρὰ Ναξίων ἄμπελον. Hesyc h . [5]

11 T. II. p. 955: Πηλέως μάχαιρα. παροιμία, ἣν ἐκ πλήρους Ἀριστοφάνης ἀναγράφει οὕτω· Μέγα φρονεῖ μᾶλλον ἢ ὁ Πηλεὺς τῇ μαχαίρ ᾳ. ἐδόκει γὰρ σωφροσύνης γέρας εἰληφέναι. Scho l .

12 Ar. Av. 1292: Πέρδιξ ὄνομα καπήλου. χωλὸς δὲ ἦν οὗτος. —ἀπὸ τούτου δέ φασι τὴν παροιμίαν Πέρδικος σκέλο ς , ἧς καὶ Ἀριστοφάνης ἐν ταῖς ἀμέτροις παροιμίαις μνημονεύει. Ety m .

13 M. p. 736, 23: Συρβηνός ὁ ταραχώδης, ἀπὸ τῶν αὐλούντων μετὰ θορύβου. —καὶ συρβηνέων χορός, ὁ τεταραγμένος καὶ συώδης· ἀπὸ τοῦ τοῖς κυσὶν ἐπιφωνουμένου συρβάβυττα τὸν τάραχον· καὶ σύρβ η, ὡς Ἀριστοφάνης ὁ γραμματικός. [5]

Eulogikon public reading copy · View original HTML at eulogikon.org